φέντων κεφαλαίων κατὰ τῶν εἰκονομάχων, ταῦτά φησιν· ὅτι δὲ τῆς καθολικῆς ἐκκλησίας ἀπερριμμένοι εἰσὶ, σαφῶς μαρτυροῦσι καὶ τὰ πεμφθέντα γράμματα παρὰ τοῦ μακαριωτάτου ἀρχιερέως τῆς πρεσβυτέρας Ῥώμης, τουτέστι τοῦ πρώτου καὶ ἀποστολικοῦ θρόνου. Ταῦτα περὶ τῆς τάξεως καὶ τιμῆς διαταξαμένη ἡ ἱερὰ σύνοδος τοῦ θρόνου τῆς μεγαλοπόλεως ταύτης, διαλέγεται καὶ περὶ τῶν ὑποκεῖσθαι μελλουσῶν αὐτῇ διοικήσεων, καὶ ταύτας εἶναί φησι, τὴν Ποντικὴν, τὴν Ἀσιανὴν, καὶ τὴν Θρᾳκικήν· ὧν δὴ διοικήσεων καὶ τὰς χειροτονίας τῶν μητροπολιτῶν μόνων ἀνατίθησι τῷ Κωνσταντινουπόλεως. Εἴρηται δὲ τὸ, μόνων, ἵνα μὴ καὶ τὰς τῶν ἐπισκόπων χειροτονίας σφετερίσηταί τις τῶν Κωνσταντινουπόλεως ἐπισκόπων· ἐκεῖναι γὰρ ἑκάστῳ τῶν μητροπολιτῶν, οἷς ἀνέκαθεν ἀνῆκον, εἰάθησαν· διὸ καὶ ἐπιφέρει ὁ κανὼν τὸ, δηλαδὴ ἑκάστου μητροπολίτου χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους μετὰ τῶν ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας. Ἀνατίθησι δὲ τῷ Κωνσταντινουπόλεως καὶ τὴν χειροτονίαν τῶν ἐπισκόπων τῶν ἐν τοῖς βαρβαρικοῖς ἔθνεσι, τοῖς οὖσιν ἐν ταῖς ῥηθείσαις διοικήσεσιν· οἷοί εἰσιν οἱ Ἀλανοὶ καὶ οἱ Ῥῶσοι· οἱ μὲν γὰρ, τῇ Ποντικῇ διοικήσει, οἱ δὲ Ῥῶσοι τῇ Θρᾳκικῇ συμπαράκεινται. Ἵνα δὲ μὴ τῇ αὐθεντίᾳ τοῦ Κωνσταντινουπόλεως νομισθῶσιν οἱ θεῖοι Πατέρες ἐκεῖνοι τὸ πᾶν τῆς χειροτονίας ἀνατιθέναι, ὥστε ποιεῖν ἐκεῖνον ἐπὶ ταῖς χειροτονίαις κατ' ἐξουσίαν ἃ βούλεται, προσέθεντο χειροτονεῖσθαι παρ' αὐτοῦ τοὺς μητροπολίτας, συμφώνων ψηφισμάτων γινομένων, καὶ ἐπ' αὐτὸν ἀναφερομένων, μονονουχὶ τοῦτο λέγοντες· ὅτι οὐχ οὓς βούλεται ὁ Κωνσταντινουπόλεως χειροτονήσει μητροπολίτας, ἀλλ' ἡ ὑπ' αὐτὸν σύνοδος τὰς ψήφους ποιήσεται· καὶ ἐφ' οὓς ἂν οἱ ψηφιζόμενοι συμφωνήσουσιν, ἐξ ἐκείνων χειροτονήσει, ἀναφερομένων τῶν ψηφισμάτων πρὸς αὐτόν. Τισὶ μὲν οὖν τὸ μόνων οὕτω νενόηται, καθὼς εἴρηται· ἄλλοι δὲ εἰς διαστολήν φασι τεθῆναι τῶν λοιπῶν διοικήσεων, διαστελλόντων τῶν Πατέρων τὰς ἄλλας διοικήσεις, καὶ τὰς εἰρημένας μόνας ἀνατιθεμένων τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως. Αἱ γὰρ λοιπαὶ διοικήσεις, ἡ τῆς Μακεδονίας δηλαδὴ καὶ